λόγου κολακεία, καὶ τὸ πρὸς χάριν) ἐν τοῖς καθ' ἡμᾶς χρόνοις λαμπρότατος ἀστὴρ τῆς ἀνατολικῆς ἐκκλησίας· προέστη δὲ θεαρέστως τῆς ἁγίας ἐκκλησίας τῆς ἐν Ἀλεξανδρείᾳ ὑπὲρ τὰ εἴκοσι ἔτη; ποιμαίνων θεοφιλῶς καὶ καταρτίζων πρὸς εὐσέβειαν, καὶ τρόπων χρηστότητα τῷ ἀποστολικῷ αὐτοῦ κηρύγματι, οὐ μόνον τὸ ἴδιον ποίμνιον, ἀλλὰ καὶ πάντα τὸν ἁπανταχοῦ τῆς ἀνατολικῆς ἐκκλησίας χριστεπώνυμον λαόν· ἀρυόμενος δὲ πολλὰ καὶ θαυμάσια ἀπὸ τῆς πλουσίας βιβλιοθήκης τῆς Ἀλεξανδρείας, προσεπιφέρων πολλὰ καὶ οἴκοθεν ἐκ τῶν ἀκηράτων πηγῶν τῆς ἐν αὐτῷ σοφίας, συνέγραψε διάφορα συγγράμματα, καὶ μάλιστα κρίσεις, καὶ ἀναπτύξεις εἰς τὴν ἱερὰν Γραφήν, πρὸς Ἰουδαίους, καὶ ἄλλα πάμπολλα· ἅτινα φυλάττονται, ὡς πολύτιμα κειμήλια, θεοῦ θέλοντος, καὶ τύπῳ παραδοθήσονται. Παρῃτήθη δὲ ὁ ἅγιος ἀνὴρ τοῦ θρόνου οἰκείᾳ θελήσει, καὶ ἀπῆλθεν εἰς τὸ ἅγιον ὄρος τοῦ Ἄθωνος, ἔνθα ζήσας χρόνον οὐ μακρόν, ἐν ἡσυχίᾳ καὶ γαλήνῃ ψυχῆς τὸν βίον κατέλυσε.

Διονύσιος Βυζάντιος, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων ἱκανῶς τῆς ἑλληνικῆς γλώσσης, τῶν ἱερῶν Γραφῶν, καὶ τῶν Πατέρων τῆς ἐκκλησίας ἔμπειρος, ὧν ἐν τῇ συνεχεῖ καὶ ἀδιακόπῳ μελέτῃ ἦν διάγων τὸν βίον, καὶ οἷς ἐκεῖθεν ἠρανίζετο ὀρθοῖς δόγμασι, καὶ πνευματικαῖς παραινέσεσι κατήρτιζε τὸ λογικὸν αὐτοῦ ποίμνιον πρὸς τὴν τῶν ὀρθῶν δογμάτων ἀκρίβειαν, καὶ χριστιανικὴν πολιτείαν.

Καλλίνικος ἐξ Ἀκαρνανίας, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς φωνῆς, ἱκανὸς νοεῖν τάς τε τῶν λογογράφων, καὶ τὰς τῶν φιλοσόφων βίβλους, ἐνησχολεῖτο τῇ μελέτῃ καὶ ἀναγνώσει τῆς ἱερᾶς Γραφῆς, καὶ τῶν Πατέρων τῆς ἐκκλησίας· ἐκήρυττε τὸν λόγον τοῦ θεοῦ μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης πρὸς τὸ ἑαυτοῦ λογικὸν ποίμνιον.

Γαβριὴλ Σμυρναῖος, πατριάρχης Κωνσταντινουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώττης, καὶ τῆς ἱερᾶς Γραφῆς ἐμπει-